παραλειφθέντων τῶν ἀρχαιοτέρων ἐκείνων, ὧν ϗ τὰς δόξας τυχὸν ἐπ' ἀκριβὲς οὐκ ἴσμεν, θαυμάσαι ἔπεισι τοὺς Νεωτέρους δὴ τούτους, πῶς οὐ προσέσχον τὸν νοῦν τούτῳ δὴ τῷ προδηλοτάτῳ, ὅτι ἣν δοθῇ ἡ ἀπέραντος αὕτη ἔκτασις, ϗ ἀκίνητος, ϗ ἀδιαίρετος, μόνη αὕτη ἔςαι ἐν τῷ παντὶ ὑφεςῶσα οὐσία; Εἶτα ϗ ὅτι αἱ λοιπαὶ ἐκτάσεις, αἱ δὴ ἐκείνης χωροῦσαι, οὐκ ἂν εἶχον οὐδὲ κινεῖσθαι, οὐδὲ μὲν οὖν διαιρεῖσθαι, ἐκείνης ἀκινήτου τε ϗ ἀδιαιρέτου ὑποτεθείσης; Γ. ὅτι οὐκ ἂν εἶχον αἱ τῶν σωμάτων ἐφελκύσεις τελεῖσθαι διὰ μέσου ἀκινητοῦντος; Ἀλλὰ γάρ μοι τῷ νῷ οὐδὲ τοῦτο ὑπέρχεται, πῶς τοὺς πάλαι Ἐλεατεῖς, ϗ ὅσους ἄλλους τὴν καθόλου ἐκείνην οὐσίαν εἰσάγοντας, τοῖς ἀθέοις οἱ θεολογοῦντες συγκαταλέγουσι (1), τοὺς δὲ νεωτέρους τούτους εὐσεβεῖς ϗ χριςιανοὺς νομίζουσι, τὸ δὲ πλέον ὅτι ϗ διὰ τοῦ συςήματος αὐτῶν θαυμασίως τὴν Σπινόζου κακοδαιμονίαν ἐκσυρίττεσθαι ὑπειλήφασι (2); καὶ τοὺς μὲν ἀμφὶ Σκότον σχεδὸν Σπινοζίτας ἔχουσι (3), τὸ καθόλου πραγματιῶδες εἰσηγουμένους, οὐσίαν τινὰ δηλονότι πράγματι μὲν μίαν, εἰδικῶς δὲ πολλαπλῆν, ὃ καὶ πρὸς ἀθεϊσμὸν εὐθὺ φέρειν ὑπείληφεν ὁ Βουδδαῖος (4), Μόρον δὲ, ϗ Κλάρκιον, ϗ Νεύτωνα, τοὺς τὸ διάςημα αὐτὸ αὐτὴν εἶναι τὴν Θεοῦ οὐσίαν δεῖξαι ἐπειγομένους, εὐσεβῶς φιλοσοφεῖν ἀποφαίνονται;

## Προτάσεις ἐπὶ τὸ ϛ'. Κεφ. ἀνατιθέμεναι.

## Πρότ. ΞΔ'.

„Δύναμις ϗ ἕξις τῆς οὐσίας, ἤτοι πρώτου τινὸς ὑποκειμένου, τυγχάνουσιν „ἴδια. Δοθείσης ἄρα δυνάμεως, ἢ ἕξεως, καί τι πρῶτον αὐτῆς ὑποκείμενον „δίδοσθαι πᾶσα ἀνάγκη. Ἐνταῦθα μέντοι διαιρετέον ἀκριβῶς τὸ ὑποκείμενον „τῆς ἐνεργείας τοῦ ὑποκειμένου τῆς ἐνεργούσης δυνάμεως. Οἷον τὸ χειρὶ, φέρ' „εἰπεῖν, κινούμενον σῶμα ὑποκείμενον μέν ἐςι τῆς ἐνεργείας, οὐχὶ δὲ ϗ τῆς δυ„νάμεως, ἀφ' ἧς ἡ ἐνέργεια, ἀλλ' ἡ χείρ.

---

(1) *Μέτιθι Βουδδ. περὶ ἀθε. ϗ δεισι. Κεφ. Α'. Παρκερος περὶ Θεοῦ· καὶ Κουδβόρτιον ἐν τῷ Συς. τῷ νοερῷ.*

(2) *Βαιλ. ἐν τῷ Λεξ.* Ἄρθ. *Λεύκιπ.*

(3) *Αὐτ. Ἄρθ.* Ἀβελάρδος ϗ *Κουσαλπῖνος.*

(4) *Περὶ ἀθε. Κεφ.* Α'. §. 23.



Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΞΕ'.

„Η' δὲ ἐνέργεια ἴδιον τῆς δυνάμεως, ϗ αἰτιατὸν, ταύτης ἀπηρτημένον, „ὡς ϗ ἡ δύναμις αὐτὴ ἀπὸ τῆς οὐσίας.

## Πρότ. Ξς'.

„Δύναμις δὲ ϗ ἐνέργεια κυρίως οὐσία ὐκ εἰσὶν, ἀλλ' οὐσίας ἴδια· καὶ „ἐνεργείας δοθείσης, ἀνάγκη ϗ δύναμιν εἶναι, ϗ οὐσίαν, ἀφ' ἧς ἐσωτερικῶς „ἤρτηνται, ϗ ἧς ἄνευ ὐκ ἂν ὑποςαῖεν.

## Πρότ. ΞΖ'.

„Ε'νεργειῶν δὲ γένη δύο, κίνησίς τε ϗ διανόησις, τοῖς πᾶσι πρεσβεύεται.

## Σχόλιον.

Ω'ββέσιος τὰς ἡμῶν ἐννοίας, ἐνεργείας εἶναι καὶ ἀντενεργήσεις, ἐν ταῖς αἰσθήσεσιν ἡμῶν, ϗ τῇ καρδίᾳ, ϗ τῷ ἐγκεφάλῳ ἐνεγειρομένας ἀτόπως ἀποφαινόμενος, ἐν ἄλλοις οἰκειότερον ἐλεγχθήσεται.

## Πρότ. ΞΗ'.

„Υ'φέςηκεν οὐσία ϗ δύναμις ἐνεργητικὴ ὥσπερ διανοήσεων, ὕτωτοι καὶ „κινήσεων.

## Δεῖξις.

Υ'φεςήκασι γὰρ διανοήσεις ϗ κινήσεις δισσὰ γένη ἐνεργειῶν (Πρ. ΞΖ'.). Α'λλ' αἱ ἐνέργειαι ὐδ' ὐσίαι εἰσὶν, ὐδ' ἀρχῆς ἐνεργητικῆς ἄνευ εἰσὶν ὑφιςάμεναι (Πρ. ΞΕ'. ϗ Ξς'.). Α'ρα ὑφέςηκε τύτων ἡ δύναμις, ϗ ταύτης τῆς δυνάμεως ἡ οὐσία, τὸ πρώτιςον ὑποκείμενον (Πρ. ΞΔ'.).

## Πρότ. ΞΘ'.

„Ε'ὰν οὐσία αἰώνιος ἀρχὴ διανοήσεων ἐνεργητικὴ οὖσα, ἀρχὴ εἴη καὶ „τῶν κινήσεων τῶν ἐνδεχομένων, αἱ κινήσεις αὗται τῷ οὐσιώδει λόγῳ ἐκεί„νης ὐκ ἔσονται ἀνήκυσαι.

## Δεῖξις.

Καθάπερ γὰρ τὰ ἐνδεχόμενα τρεπτὰ ὄντα (Πρ. Ις.), ὐκ ἀνήκει τῇ οὐσίᾳ τῦ ἀτρέπτυ ὄντος (Πρ. ΙΔ'.), οὕτως ὐδὲ αἱ τῶν ἐνδεχομένων κινήσεις.

## Πρότ. Ο'.

„Αἱ κινήσεις ϗ αἱ κινητικαὶ δυνάμεις τῶν ἐνδεχομένων εἰσὶν ἀπὸ τῆς „αἰωνίυ οὐσίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε. Ε. της Κ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Τὰ γὰρ ἐνδεχόμενα εἰσὶν ἀπὸ τῆς αἰωνίȣ οὐσίας (Πρ. ΙΔ΄.). Ἄρα καὶ αἱ τȣ́των κινήσεις, ϗ αἱ κινητικαὶ δυνάμεις, εἴτινες εἰσί.

## Σχόλιον.

Ἐπειδὴ τὸ πᾶν τȣ̃το ἐξ ἐνδεχομένων συνέϛηκεν (Πρ. ΙΗ΄.), ἕπεται τὰς κινήσεις αὐτȣ̃, ϗ τὰς τῶν κινήσεων δυνάμεις (εἴτινας ἔχει), τȣτέϛι τὴν φύσιν, ἀπό τινος οὐσίας αἰωνίȣ τε ϗ νοερᾶς τὴν ἀρχὴν ἔχειν. Τȣ̃το γέτοι ȣ̓δ᾽ οἱ καθ᾽ ἡμᾶς ἄθεοι (τȣ̀ς Σπινοζίτας φημὶ), ἀποφάσκειν τολμῶσι. Δῆλον ἄρα τρεῖς εἶναι τὰς τȣ̃ παντὸς ἀρχὰς, νȣ̃ν, ὕλην, ϗ κίνησιν· ὧν ἡ μὲν α΄. αἰώνιος ϗ ἐξωτερικὴ, ϗ ἐνεργητικὴ· αἱ δὲ λοιπαὶ δύο ἐσωτερικαὶ, ϗ τȣ́των ἡ μὲν ὕλη ἀδρανὴς ϗ παθητικὴ, ἡ δὲ κίνησις ἐνεργητικὴ, ἐν ᾧ ϗ τȣ̀ς φιλοσόφȣς ἅπαντας τȣ̀ς πάλαι (ἢν τȣ̀ς ἀμφὶ Δημόκριτον ἐξέλῃς) πάντας συνᾴδειν, εἰ μὴ περιττὸν ἦν, διὰ πλειόνων ἂν δεῖξαι δυναίμεθα.

## Πρότ. ΟΑ΄.

„Ἡ αἰώνιος οὐσία ȣ̓δεμιᾷ φύσεως ἀνάγκῃ διοριωθῆναι δεδύνηται „πρὸς τὰς τῶν ἐνδεχομένων κινήσεις.

## Δεῖξις.

Εἰ γὰρ ἀνάγκῃ φύσεως αἱ κινήσεις αὗται ἀπὸ τῆς οὐσίας ἐκείνης ἤρτηνται, τȣ̃το γέτοι δυοῖν θάτερον, ἢ ὅτι δι᾽ οὐσιώδȣς προβλύσεως ἐκπηγάζȣσιν, ἢ ὅτι τῇ οὐσίᾳ ἐκείνῃ ἀνήκȣσιν, ὡς ἴδια τῶν ȣ̓σιωδῶν. Ἀλλὰ τὸ μὲν Α΄. ἀδύνατον, ὥσπερ ἐπὶ τῶν ἐνδεχομένων ὄντων (Πρ. ΚΗ΄.), ȣ̓τωτοὶ ϗ ἐπὶ τῶν ἐνδεχομένων κινήσεων· θάτερον δὲ ȣ̓κ ἔϛι δυνατὸν, ϗ γὰρ αἱ κινήσεις τῶν ἐνδεχομένων τῷ ȣ̓σιώδει λόγῳ τῆς αἰωνίȣ ϗ νοερᾶς ȣ̓σίας ȣ̓δαμῶς ἀνήκȣσιν (Πρ. ΞΘ΄.), ἡ δὲ αἰώνιος ȣ̓σία ϗ νοερά (Πρ. ΙΔ.).

## Σχόλιον.

Ὑπολαβὼν ἐρεῖ τις τυχὸν, ὅτι ἡ αἰώνιος ȣ̓σία ἄτρεπτος οὖσα (Πρ. ΙΔ΄.), μίαν τε ϗ ἅμα ὅλην ἔχει τὴν νόησιν, μᾶλλον δὲ ϗ ἡ ἁπλȣϛάτη (Πρ. ΙΖ΄.) ἡ αὐτὴ ϗ νȣ̃ς τυγχάνει, ϗ διανόησις ἁπλȣϛάτη ȣ̓σία. Ἀλλὰ γὰρ ϗ ἄπειρος ἡ αὐτή (Πρ. ΙΔ΄.). Τοιγαρȣ̃ν ϗ πάνθ᾽ ὅσα δυνατὰ ἐμπεριέχεται ταύτῃ γε, ϗ τῶν δυνατῶν ἁπάντων αἱ ȣ̓σίαι, ταύτῃ δὴ τῇ νοήσει προσοφείλονται (Πρ. ΛΑ΄.), αἱ δὲ τῶν δυνατῶν ὑπάρξεις τῇ βȣλήσει (αὐτόθι). Ἀλλ᾽ ἡ βȣ́λησις συνδιαιωνίζει τῇ νοήσει. Οὐχ ἧττον ἄρα ταύτης ἐκείνη ἀναγκαία ἐϛὶ τῇ ὑπερτάτῃ ȣ̓σίᾳ·

ϗ, εἰ ἄρα ἀδύνατον τὰ δυνατὰ τὸν Θεὸν μὴ νοεῖν, ἀδύνατον ϗ ταῦτα μὴ βούλεσθαι. Ὥσπερ οὖν ἀνάγκῃ φύσεως ταῦτα νοεῖ, οὕτω ϗ βούλεται. Ἀλλὰ γὰρ ἡ βούλησις πανσθενὴς αὐτῷ, πᾶσα ἄρα ἀνάγκη αὐτίκα γίνεσθαι ὅπερ ἂν βούλοιτο. Ἀπαντῶσι τοίνυν πρὸς ταῦτα τινὲς, μὴ πᾶσαν Θεοῦ βούλησιν δραστήριον εἶναι φάσκοντες, μηδὲ τοιαύτην ἀπ' αἰῶνος εἶναι τὴν ἀφορῶσαν τὰς τῶν δυνατῶν ὑπάρξεις. Ἀλλ' ἢν εἴπῃ Σπινόζας τὴν μὴ δραστήριον βούλησιν μηδὲ βούλησιν εἶναι τῷ ὄντι, τί δήποτε προσθήσουσιν; Ἄμεινον οὖν ἀπαντήσειέ τις, ὅτι καθάπερ τῷ Θεῷ νοητὸν πρώτιστον ἡ ἀκροτελεστάτη αὐτοῦ φύσις, ἡ καθ' ὑπεροχὴν τῶν ἀπείρων δυνατῶν τὰς τελειότητας περιέχουσα, ἤτουν ἡ αὐτὴ οὐσία τυγχάνει ϗ τὸ βουλητὸν τὸ πρώτιστον, πρὸς ὃ ϗ ἡ βούλησις ἀνάγκῃ φύσεως φέρεται, αἰώνιός τε τυγχάνουσα ϗ δραστήριος. Ἡ δὲ δὴ τὴν τῶν δυνατῶν ἀφορῶσα ὕπαρξιν τοῦ Θεοῦ βούλησις, παντελευθέρα τε τυγχάνει οὖσα ϗ αὐτοκίνητος, ϗ ἀπ' αἰῶνος οὖσα, ἐν χρόνοις τοῖς δεδογμένοις τὰ ἐσόμενα ἀποταμιεύει ϗ ἀποτίθησι. Καὶ οἶδε μὲν ἀπ' αἰῶνος ὁ Θεὸς, ὅτι τῶν ποτὲ ἐσομένων τὴν παραγωγὴν βουληθήσεται, βούλεται δὲ ἐξ αὐτοῦ αἰῶνος τὴν βούλησιν ταύτην παντελευθέραν ἔσεσθαι. Εἰ μὴ γὰρ, οὐχ' ὅπως ἀνάγκῃ φύσεως ὑπὸ Θεοῦ τὰ ὄντα παρήγετο, ἀλλὰ δὴ ϗ ἅμα πάντα, ϗ κατὰ τὸ αὐτὸ, ὅπερ οὐδ' οἱ Σπινοζῖται οὗτοι δοῖεν ἐπιεικῶς, τὰς κατὰ διαδοχὴν τῶν ὄντων ὑπάρξεις σαφῶς θεώμενοι· ἧπου γὰρ, ἐπεί τοι διαδοχή τις ἐνορᾶται τοῖς οὖσι, φανερὸν ὅτι ϗ ἡ τοῦ Θεοῦ βούλησις χρόνους τινὰς, ϗ τάξιν ἀσπάζεται.

## Πρότ. ΟΒ'.

„Τὰ ἐνδεχόμενα ὄντα, ϗ τούτων τὰ συστήματα, οἷς τόδε τὸ πᾶν συγ-
„κροτεῖται, ἔτι τε μὴν ϗ τούτων αἱ κινήσεις πᾶσαι, ἀκροτάτῃ ἐλευθερίᾳ ὑπὸ
„τῆς αἰωνίου αἰτίας παρήχθη.

## Δεῖξις.

Οὐ γὰρ ἀνάγκῃ φύσεως ἐγένετο (Πρ. ΟΑ'.). Τῷ ὄντι δὲ τὶς ἄν ποτε φρενῶν ὑγιῶν μετέχων, οὐδ' ἐνθυμηθῆναι ὅλως κατὰ νοῦν δύναιτο, τὸν ἀπειροτέλειον νοῦν, τὸν αἰώνιον, ϗ πάντῃ ἀπροσδεῆ, ϗ μακάριον, ἀνάγκῃ φύσεως εἰς παραγωγὴν τοῦ παντὸς ἀχθῆναι;

## Πρότ. ΟΓ'.

„Ἡ κατὰ Σπινόζαν εἱμαρμένη πλάσμα ἄντικρυς.

## Δεῖξις.

Ἔστι γὰρ ἡ κατὰ Σπινόζαν εἱμαρμένη ἄπειρός τις ὄντων σειρὰ, ἀναγ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καίως ἐκ τῆς τοῦ Θεοῦ φύσεως προβλυστάνουσα (ὁρ. νβ΄.)· τὰ δὲ τοῦ Θεοῦ ἐκτὸς οὐδ' ἀπὸ τῆς θείας προβλυστάνει φύσεως (Πρ. ΚΗ΄.), οὐδ' ἀναγκαίως, ἀλλ' ἐκ βουλήσεως παντελευθέρας Θεοῦ παράγεται (Πρ. ΟΒ΄.). Ἄρα κτλ.

## Σχόλιον.

Καὶ αὕτη μὲν συνθετικῶς προβαίνουσα δεῖξις. Εἴη δ' ἂν αὐτὸ τοῦτο καὶ ἐκ τῆς ἀνθρώπου φύσεως ἀναλυτικῶς κατασκευάσαι. Εἰ γὰρ αὐτοὶ σφίσιν αὐτοῖς σύνισμεν ἐνὸν τὸ ἐλεύθερον, τί μὴ οὐχὶ καὶ τῷ Θεῷ τῷ ὑπερτελεῖ ἀποδώσομεν; Οὐ γὰρ ἂν πείσειέ ποτε ὁ Σπινόζας ἡμᾶς μὴ ἔχειν ἐλευθέρως ἄγειν τὸ σῶμα, ἐξ οὗ συνιστάμεθα. Ἀλλὰ πρόληψις, ἐκεῖνός φησι, τοῦτό γε, ἀπὸ γεννήσεως ἡμῖν συνηλικιωθεῖσα. Πόθεν δὲ τὴν πρόληψιν ὁ θαυμαστὸς οὗτος διέγνω, καὶ κατεφώρασεν; Ὅτι, ὡς ἐκεῖνος, αἱ ἐν ἡμῖν βουλήσεις διορισμοί τινες εἰσὶ τῆς ψυχῆς ἡμῶν, τῇ διανοίᾳ πειθαρχοῦντες. Ἀλλὰ τοῦθ' ὅπερ ἡμεῖς αὐτῷ ἥκιστα συγχωροῦμεν. Ναὶ φησὶν, ὅτι ἡ μὲν βούλησις ὑπὸ τοῦ νοῦ διορίζεται, ὁ δὲ νοῦς ὑπ' ἄλλου αἰτίου, καὶ οὕτως ἐφεξῆς ἄχρι τοῦ Θεοῦ· οὐδὲν γὰρ αὐτὸ ἑαυτὸ διορίσαι δύναται τῶν γενομένων (1). Καὶ μὴν τοῦτ' αὐτό ἐστι τὸ ζητούμενον. Τί δαὶ, φησὶν, ἡ ἐν τοῖς οὖσι τάξις ἄρδην ἀρθήσεται; Οὐ μὰ δί' ἀλλὰ τεθείσεται μᾶλλον. Οὐκοῦν, ἐκεῖνος, ἄλλα ὑπ' ἄλλων ἀχθήσεται, οὐδὲν ἀφ' ἑαυτοῦ δηλονότι. Πρὸς ἃ αὐτὸς, ἡ ἐν τοῖς οὖσι τάξις ἐκ τῆς φύσεως αὐτῶν δὴ τούτων τῶν ὄντων ἐστὶ προβλυστάνουσα, καὶ ταῖς αὐτῶν οὐσίαις προσήκουσα· καὶ ἄγεται μὲν τὰ λόγου καὶ ἐλευθερίας ἄμοιρα, ἄγει δὲ ὅσα τούτων μετέχει· καὶ νοῦς ἕκαστος τάξει τινὶ ἐφίσταται τῶν παρ' αὐτοῦ νοήσεων καὶ ἐνεργημάτων, ἐκ δὲ τῶν ἐν μέρει τουτωνὶ τάξεων ἡ τοῦ ὅλου τάξις ἄριστα συγκροτεῖται. Ἀλλὰ ταῦτα πλατυτέρου τοῦ λόγου χρήζοντα, ἐν ἄλλοις οἰκειότερον ὑπερτεθείσθω.

## Πρότ. ΟΔ΄.

„Εἰσί τινες ἐνέργειαι ψυχῶν, αἱ μὲν ἐσωτερικαὶ, οἷον νοήσεις τε καὶ
„ἀναμνήσεις, αἱ δὲ ἐξωτερικαὶ, οἷον κινήσεις τοῦ σώματος ποικίλαι ὀφ-
„θαλμῶν, γλώσσης, χειρῶν, ποδῶν, αἳ καὶ οὕτω παρ' ἡμῖν εἰσὶ κείμεναι, ὡς
„τοῦ γίνεσθαι, ἢ μὴ, αἰτίαν ἄμεσον εἶναι τὴν ἐν ἡμῖν θέλησιν καὶ ἐλευθερίαν,
„κἂν αἰτία τοῦ τὴν ἐν σφίσιν αὐτοῖς ἐλευθερίαν ἐκείνους αἱρεῖσθαι ἢ μὴ ἔ-
„χειν, αἱ ἀντιλήψεις τοῦ ἀγαθοῦ μάλιστα καὶ κακοῦ τυγχάνουσι.

(1) Πρότ. Κϛ΄. ΚΖ΄. καὶ ΚΗ΄. μέρ. Α΄. τῆς Ἠθ.

Ε.Υ.Δ της Ε.Π.Π ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Τῇ κοινῇ πάντως οὐχ ὅπως τοῦ χύδην ὄχλου, ἀλλὰ καὶ τῶν σοφωτέρων αἰσθήσει τὸ λεγόμενον κρατύνεται. Ἀλλὰ φαῖεν ἄν, ὅτι αἱ βουλήσεις αὗται νοῦ τινες διορισμοὶ τυγχάνουσιν, ἀπὸ τῶν νοερῶν προσλήψεων ἐκπηγάζουσαι· αἱ δὲ προσλήψεις τοῦ νοῦ, εἴ ἀπὸ δυνάμεως ἀναγκαίας, οὐ παρ' ἡμῖν εἰσὶ κείμεναι, οὐδ' ἄρα αἱ βουλήσεις, οὐδ' αἱ κατὰ ταύτας ἐνέργειαι. Πρὸς ἃ δὴ ἀληθὲς μὲν οὖν δώσομεν, αὐτήν τε τὴν τοῦ ἀντιλαμβάνεσθαι νοερῶς τῶν ὄντων δύναμιν, καί τινας τῶν ἀντιλήψεων, παρά τινας ἐμποιουμένας ἡμῖν προσβολὰς, μὴ παρ' ἡμῖν αὐτοῖς κεῖσθαι· ἐφ' ἡμῖν δὲ εἶναι περὶ τούτων μᾶλλον, ἢ ἐκείνων νοεῖν, καὶ πρὸ τούτων ἐκείνων ἀναμιμνήσκεσθαι, ὡς ἅπαξ ποτὲ τούτοις νῷ ἐπεβάλομεν, κἂν τυφλοῖς δῆλον εἶναι ἡγούμεθα καὶ αὐτόπιστον. Εἰ δὲ καὶ αἱ βουλήσεις διορισμοὶ νοῦ τυγχάνουσιν, οὐ παρ' αὐτὸ καὶ ἀναγκαίως ἕπεται ἐκείνας τελεῖσθαι· πολλῶν γὰρ ἐνθυμούμεθα, ὧν οὐδὲν βουλόμεθα, καίτοι παρ' ἡμῖν εἶναι τὸ βουληθῆναι σφίσιν αὐτοῖς συνειδότες· μᾶλλον δὲ καὶ πολλῶν καίτοι σφοδρῶς ἐφιέμενοι, βουλήσει παραιτούμεθα, εἷον ψυχροῦ ὕδατος, τῷ ἰατρῷ ἀπαγορευθέντος, οἱ πυρέσσοντες. Ἐξ οὗ καὶ Λώκιος τὴν ὄρεξιν τῆς βουλήσεως διακρίνειν προάγεται, μὴ κατὰ τοὺς λοιποὺς συγχέων (1). Ἀλλ' ἀνθυποφέρουσιν ὅτι τοὐλάχιστον ἐκ τῶν τοῦ ἀγαθοῦ, ἢ κακοῦ ἀντιλήψεων, ἀναγκαίως αἱ βουλήσεις ἀναφύονται. Ἀπαντῶμεν οὖν, ὅτι ἔμφυτος μὲν ἡμῖν ἡ τοῦ ἀγαθοῦ ὄρεξις, καὶ ἡ πρὸς τὰ φαῦλα φρίκη, ἀλλ' αἱ βουλήσεις ὡς λίαν ἐκείνων ἀπέχουσι, διορισμοί τινες οὖσαι νοῦ αὐθαίρετοι, οἷς τὸ μὲν ἀγαθὸν ἐλευθέρως διώκομεν, τοῦ δὲ κακοῦ κατὰ τὸ δοκοῦν ἀπεχόμεθα.

## Πρότ. ΟΕ'.

„Ἡ κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένη οὐδαμῶς ὑφέστηκε.

## Δεῖξις.

Ἡ κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένη ἐστὶν αἰτίων σειρά τις ὑπ' ἀλλήλων διοριζομένων, ἧς κεφαλὴ ὁ Θεός (ὁρ. νβ'.). Εἰ μὲν οὖν οὕτω τὰ ὄντα εἵμαρται, οὐδὲν ἐφ' ἡμῖν κείσεται, ἧπου δῆλον. Εἰσὶ δ' ἃ παρ' ἡμῖν κείμενα (Πρ. ΟΔ'.). Ἡ ἄρα κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένη, κτ.

## Σχόλιον.

Ἀνασκευασθείη ἂν καὶ ἡ κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένη, ὥσπερ καὶ ἡ κατὰ

(1) Βιβλ. Β'. περὶ διαν. ἀνθρώπ. Κεφ. ΚΑ'.

Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Σπινόζαν, ᾗ περ ἐν πολλοῖς συμφωνεῖ (Πρ. ΟΓ΄.). Ἐπεὶ δέ τοι πολλοῖς ἀρέσκει τὰς διττὰς ταύτας εἱμαρμένας διακρίνειν ἀλλήλων (1), ταύτητοι μετὰ τὴν ἐκ τῶν προτέρων ἐκείνην τὴν ἐκ τῶν ὑςέρων ταύτην ἀπόδειξιν ἔδοξε προσθεῖναι. Ἀλλὰ γὰρ τί θαυμαςόν, φασίν, εἰ τῇ εἱμαρμένῃ συνῆψαν οἱ ἐκ τῆς ςοᾶς τὴν θεῶν πρόνοιαν, καὶ τὴν τοῦ παντὸς δημιουργίαν (2), ὅπου γε καὶ πολλοὶ τῶν Χριςιανῶν ταῦτα συναναμιγνύειν πειρώμενοι, τ᾽ ἀσύγκλωςα κλώθειν ἐπείγονται; Ἀμέλειτοι γάρ, φασί, τοῦ νοεροῦ κόσμου καὶ αἰωνίου τοῦτον δὴ τὸν αἰσθητὸν καὶ ἐν χρόνῳ βούλονται εἶναι οἱονεὶ ἀπεικόνισμα, τὴν αὐτὴν τῇ ἐν ἐκείνῳ τάξιν ἐμπεριέχον· καὶ τοίνυν οὐδὲν ἐν τούτῳ μεταβλητὸν ἔςαι μᾶλλον, ἢ ἐν ἐκείνῳ. Ταῦτα δήπου καί τινι τῶν ἔξω σοφῶν (3) ἔδειξε δύσλυτα πάνυ, ὃς καὶ τὴν εἱμαρμένην ἀναιρεῖν οἰόμενος, εἰ τὰ ἐξ ἐλευθερίας πραττόμενα ἀγνοεῖν τὸν Θεὸν ἀπ᾽ αἰῶνος φήσει, ἀνοήτως ἄγνοιαν τῶν τοιούτων τῷ πανσόφῳ προσέτριβεν, ᾧ καὶ οἱ ἀμφὶ Σοκῖνον συνησεβήκασιν. Εἰ γάρ, φασίν, ἐλευθέρως αἱ βουλήσεις περὶ τὰ τοιαῦτα φέρονται, οὐκ ἀσφαλὲς οὐδ᾽ αὐτῷ Θεῷ ποτέρωθεν νεύσειαν; Εἰδὲ ὑπὸ Θεοῦ τεθῶσιν αἱ βουλήσεις διοριζόμεναι καὶ κινούμεναι, ὃ καὶ τοῖς Θωμιςαῖς ἔδοξε, καὶ τοῖς περὶ τὸν Καρτέσιον, οἴχεται τοῦ λοιποῦ τὸ ἐλεύθερον, καὶ οὐδὲν τῶν γεγονότων κατὰ τὸ Σπινόζου καὶ τῶν Στωϊκῶν δόγμα ἔςαι αὐτοκίνητον. Κἂν τούτῳ ἄρα ὁ δεσμὸς ἅπας τοῦ ἀπορουμένου περίεςιν, ἢ Θεοῦ τοῦ πανσόφου τὴν πρόγνωσιν ἀπειπεῖν, ἢ τὸ ἐλεύθερον τῆς βουλήσεως περιτρέψαι. Ἀλλὰ γὰρ ἡμῖν ἐν τῷ Σχολίῳ τῆς ΟΓ΄. Προτ. θάτερον τὸ ἐλεύθερον ἱκανῶς κατεσκεύαςαι, τὸ δὲ καὶ ὅτι ὑπὸ τῆς θείας προγνώσεως οὐδαμῶς ἀναιρεῖται ἐν τοῖς θεολογικοῖς ἀποδείκνυται. Ἓν δὴ τοῦτο τὸ νῦν προσθετέον, ὡς οὐ δεῖ τὴν ὕπαρξιν ἀπαναίνεσθαι, ὧν τῆς φύσεως, καὶ τῆς πρὸς τὰ ἄλλα σχέσεως ἀκραιφνῶς οὐκ ἐξικνούμεθα. Εἰ τοίνυν ἄλλοθεν δῆλον καὶ ἡμᾶς μὲν ἐλευθέρους εἶναι, καὶ Θεὸν ἅπαντα τὰ δυνατὰ προειδέναι, κἂν ταῦτα μὴ ἔχω συμφωνεῖν ἀλλήλοις ἀμφότερα, ἀλλ᾽ οὐδέτερον ἀποφήσω, εἰμὴ τοῖς ὑγιέσι τὰς φρένας ἐλοίμην ὀφλήσειν γέλωτα.

---

(1) Ὅρα *Βουδδαίου περὶ Ἀθεϊσμοῦ καὶ Δεισιδαιμ. Κεφ. ϛ΄. §. δ΄.* καὶ *Κουδβόρτιον ἐν τῷ νοερῷ συςήματι.*

(2) Ὅρα *Κικέρ. Βιβλ. Β΄. περὶ φύσεως θεῶν.*

(3) *Κικέρ. Βιβλ. Β΄. περὶ Μαντ.*

Ε.Υ.Δ της Κ.Ε.Π ΙΩΑΝΝΙΝΑ 2006